# AESOPI FABVLAE (XVII)

## 194-ΟΝΟΣ ΑΓΡΙΟΣ

ὄνος ἄγριος ὄνον ἥμερον[1] θεασάμενος ἔν τινι εὐηλίῳ τόπῳ προσελθὼν ἐμακάριζεν αὐτὸν ἐπὶ τῇ εὐεξίᾳ τοῦ σώματος καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον καὶ ῥοπάλοις αὐτὸν παίοντα εἶπεν· «ἀλλ' ἔγωγε οὐκέτι σε εὐδαιμονίζω. ὁρῶ γάρ, ὅτι οὐκ ἄνευ[2] κακῶν μεγάλων τὴν ἀφθονίαν ἔχεις.»

οὕτως οὐκ ἔστι ζηλωτὰ τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν περιγινόμενα κέρδη[3].

---

[1] **ἥμερον.** Tradúzcase como *doméstico*
[2] **ἄνευ.** Preposición de genitivo: *sin*
[3] **τὰ ... κέρδη.** ¡Ojo! Es un solo sintagma